ἐπίσημα ἀσπίδος ἀλλόκοτα. εἰώθασι γὰρ ζωγραφεῖν εἰς τὰς ἀσπίδας ἀετούς. ζητεῖται δὲ πῶς μᾶλλον συναπλέον. εἰς τὸ, ἢ τῶν ἀσπίδων ἐπόντας, ἢ τοῖς ἄνω. ἢ τῷ γρυπαιέτους. Ἤδη πότ᾽ ἐν μακρῷ.] παρὰ τὰ ἐξ Ἱππολύτου. ἤδη πότ᾽ ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ. Ἱππαλεκτρυόνα.] γράφεται κολεκτρυόνα ὡς γένος τι λάβης Περσικὸν ἀπὸ

A ὅμοιον. ἄλλως. ἱππαλεκτρυὼν εἰ καὶ τοῖς φιλοσόφοις ἀπηγόρευται μὴ εἶναι, ἀλλ᾽ ἔστι τῇ ἀληθείᾳ ζῶον θαλάσσιον, ὃν καί τις τῶν καθ᾽ ἡμᾶς εὑρὼν κατὰ τύχην ἐξιόντα ἀπεκτονὼς καὶ πᾶσι νεκρὸν δείξας, ἐνέγραψεν ἐν τῇ σημαίᾳ αὐτοῦ καὶ τῇ ἀσπίδι, ὡς ἂν καὶ τοῖς μὴ εἰδόσιν ὁ ἆθλος κηρύττοιτο. τινὲς δὲ τὸ ἵππος ἐπὶ τοῦ μεγάλου.

Δι. Ἐγὼ δὲ τὸν Φιλοξένου γ᾽ ᾤμην Ἔρυξιν εἶναι.
Εὐριπ. Εἶτ᾽ ἐν τραγῳδίαις ἐχρῆν κἀλεκτρυόνα ποιῆσαι;
B Αἰ. Σὺ δ᾽ ὦ θεοῖσιν ἐχθρὲ, ποῖ᾽ ἄττ᾽ ἐστὶν, ἅττ᾽ ἐποίεις;
Εὐ. Οὐχ ἱππαλεκτρυόνας μὰ Δί᾽, οὐδὲ τραγελάφους, ἅπερ σὺ,
Ἃν τοῖσι παραπετάσμασι τοῖς μηδικοῖς γράφουσιν,
Ἀλλ᾽ ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ, τὸ πρῶτον μὲν εὐθὺς
C Οἰδοῦσαν ὑπὸ κομπασμάτων, καὶ ῥημάτων ἐπαχθῶν,
Ἴσχνανα μὲν πρώτιστον αὐτὴν, καὶ τὸ βάρος ἀφεῖλον,
Ἐπυλλίοις, καὶ περιπάτοις, καὶ τευτλίοισι μικροῖς
Χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων, ἀπ᾽ ἠθῶν.
Εἶτ᾽ ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς.
D Εἶτ᾽ οὐκ ἐλήρουν, ὅ,τι τύχοιμ᾽, οὐδ᾽ ἐμπεσὼν, ἔφυρον,
Ἀλλ᾽ οὑξιὼν πρώτιστα μέν μοι, τὸ γένος εἶπεν εὐθὺς
Τοῦ δράματος. Αἰσχ. κρεῖττον γὰρ ἦν σοι, νὴ Δί᾽, ἢ τὸ σαυτοῦ.
Εὐριπ. Ἔπειτ᾽ ἀπὸ τῶν πρώτων ἐπῶν, οὐδὲν παρῆκ᾽ ἂν ἀργὸν,
E Ἀλλ᾽ ἔλεγεν ἡ γυνή τέ μοι, χὠ δοῦλος, οὐδὲν ἧττον,
Χὠ δεσπότης, χἠ παρθένος, χἠ γραῦς ἄν. Αἰσχ. εἶτα δῆτα
Οὐκ ἀποθανεῖν σε ταῦτα χρῆν τολμῶντα; Εὐ. μὰ τὸν Ἀπόλλω.
Δημοκρατικὸν γὰρ αὔτ᾽ ἔδρων. Διόν. τουτὶ μὲν ἔασον ὦ τᾶν.
F Οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.
Εὐριπ. Ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα. Αἰ. φημὶ κἀγώ,
Ὡς πρὶν διδάξαι γ᾽, ὤφελες μέσος διαρραγῆναι.

*BA. Et ego Philoxeni gnatum putabam Erixin esse.*
*Ev. An verò gallos in Tragœdijs fingere decebat?*
*Æs. At tu Deis inuise homo, qualia sunt, quæcunque fingis?*
*Ev. Certè non sunt staturosi galli, nō capricerui,*
*Cuiusmodi sūt tibi, quæ in aulæis pingūtur. atqui*
*Vt primùm hanc artem à te accepi, iam tum inflatam ac tumentem*
*Vocum ampullis, & pondere verborum nimis grauatam:*
*Ibi attenuaui primùm, & pondera detraxi: & quibusdam*
*Concisis disputationibus, & verbis minutis,*
*Tum paruis betis, succū blaterametorū, ab arte,*
*Morúmque doctrina inspersi: pòst intriui Monœdijs,*
*Immisto Ctesephonte: nec prauè nugabar in re*
*Quauis: nec permiscebam omnia, quibuscunque incidissem.*
*Qui primus in scenam veniebat, is statim insequentis*
*Genus exponebat fabulæ. Æs. quia melius erat, hercle,*
*Audire fabulæ genus tibi, quàm genus tuum, opinor.*
*Ev. Deinde à primo versu nihil prætermittebam ociosum:*
*Nam & mulier, & seruus loquebantur mihi perinde,*
*Vt herus, vt virgo, vt anus. Æs. at obsecro, an non fuerat æquum*
*Te mortem obire, qui istuc auderes? Ev. non per Lyceum*
*Apollinem. Nam hæc faciebam populariter. BA. age, omitte*
*Isthuc: neq; enim pulcra tibi disputatio de ea re.*
*Ev. Præterea & hos omnes loqui docui. Æs. hoc idem & ego dico.*
*Atque utinam priùs medius rupisses, quàm hoc illos doceres.*

Σχόλια. Ερυξιν.] οὗτος γὰρ ὡς ἄμορφος καὶ ἀηδὴς διαβάλλεται. Παραπετάσμασι.] ταῖς σκηναῖς. τοῖς Περσικοῖς βήλοις. ἢ βηλοθύροις. Επυλλίοις] ἀντὶ τοῦ λογίοις μικροῖς. ὡς γὰρ βρέφος βρεφύλλιον καὶ εἶδος εἰδύλλιον, οὕτω καὶ ἔπος ἐπύλλιον. Περιπάτοις.] εἰώθασι γὰρ οἱ καλούμενοι περιπατεῖν, ἢ ἀντὶ τοῦ διατρίβειν. ὡς ἐπὶ ἀσθενοῦντος δὲ διαλέγεται ἐκ μεταφορᾶς τῶν λεπτυνομένων σωμάτων διὰ τῆς καθάρσεως. Μικροῖς.] γράφεται λευκοῖς. Χυλὸν διδούς.] οὐκ ἀπὸ πτισάνης, ἀλλ᾽ ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων. γράφεται δὲ καὶ ἀπηθῶν ἀντὶ τοῦ ἐκλεγόμενος.

μονῳδίαις δὲ, γυμνάσμασι μονῳδικοῖς.

G BISETVS. Απηθῶν] τοῦτο μεταφορικῶς εἴρηται. καὶ Εὐστάθιος εἰς τὸ Ξ. τῆς Ὀδυσσείας τοῦτον τοῦ Ἀριστοφάνους τόπον αἰνίττεσθαι δοκεῖ, λέγων οὕτω, ἠθεῖν μὲν τὸ διυλίζειν, ὅπερ ἀπηθεῖν λέγει ὁ κωμικός. ὅθεν καὶ ἠθμὸς ὁ διυλιστήρ. βέλτιον οὖν ἐνταῦθα γράφειν ἀπηθῶν, ἢ ἀπ᾽ ἠθῶν διῃρημένως, ὡς ἔν τισι τῶν παλαιῶν ἀντιγράφων. ἀπηθέω δὲ, ἠθέω, καὶ διυλίζω, ταυτόν.